Τῶν τὰς προφητικὰς ὁράσεις, ὡς αὐτῷ τὸ θεῖον αὐτὰς ἐσχημάτιζεν, καὶ διετύπου ἰδότων καὶ ἀποκειμένων καὶ πιστευόντων, ἅπερ ὁ τῶν προφητῶν χωρὸς ἑωρακῶτες διηγήσαντο, καὶ τὴν διὰ τῶν ἀποστόλων, καὶ εἰς π(ατέ)ρας διοικοῦσαν, ἔγγραφόν τε καὶ ἄγραφον παράδωσιν κρατυνόντων, καὶ διὰ τοῦτο εἰκονιζόντων τὰ ἅγια καὶ τιμόντων, αἰώνια ἡ μνήμη.

Τῶν συνιέντων Μωσέως λαλοῦντος· προσέχετε ἑαυτοῖς, ὅτι ἡμέρα ἡ ἐλάλησεν Κ(ύριο)ς ἐν Χορὶυ, ἐπὶ τοῦ ὄρους, φωνὴν ρημάτων ἡμεῖς ἠκούσατε, ὁμοίωμα δὲ οὐκ οἴδατε, καὶ εἰδότων ἀποκριθῆναι ὀρθῶς· ἴδε ἀληθῶς ἴδομεν, ὡς ὁ τῆς υροντῆς υ(ἱὸ)ς ἡμᾶς ἐδίδαξεν· ὃ ἦν ἀπαρχῆς, ὁ ἀκηκόαμεν, ὃ εωράκαμεν, ὃ ἐθεάσάμεθα, καὶ οἱ οφθαλμοῖ ἡμῶν, καὶ αἱ χείραις ἡμῶν ἐψιλάφησαν περι τοῦ λόγου τῆς ζωῆς, καὶ ταῦτα μαρτυροῦμεν, καὶ πάλιν ὡς οἱ ἄλλοι τοῦ λόγου μαθηταῖ, καὶ συνεφάγωμεν αὐτῷ, καὶ συνεπίωμεν, οὗ πρω του πάθους μόνον, ἀλλὰ καὶ μετὰ τὸ πάθος, καὶ τὴν ἀνάστασιν· τὸν γοῦν διαστέλλειν δυναμωθέντων, τὴν ἐν τῷ νόμῳ παραγγελίαν, καὶ ἐκείνου μὲν ἀόρατον, ἐν ταύτῃ δὲ καὶ ὁρατὸν καὶ ψιλαθέντα, εἰκονογραφέντων, καὶ προσκυνοῦντων, αἰωνία (ἡ μνήμη):

Οἱ προφῆται ὡς ἴδων, οἱ ἀπόστολοι ὡς ἐδίδοξαν, ἡ ἐκκλησία ὡς ἐπαρέλαυεν, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνικεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἐπιδέδεικτε, τὸ ψεύδος ὡς ἀπελήλατο, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χ(ριστὸ)ς ὡς ευράυευσεν, οὕτω φρονοῦμεν, Χ(ριστὸ)ν τὸν ἀληθινὸν Θ(εὸ)ν ἡμῶν, καὶ τοὺς ἁγίους αὐτοῦ, ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν· τὸν μὲν ὡς Θ(εὸ)ν καὶ δεπότην προσκυνοῦντες, καὶ σέβοντες, τοὺς δὲ διὰ τὸν κοινὸν δεσπότην, καὶ ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες, καὶ τὴν προσκύνησιν ἀπονέμοντες· αὕτη ἡ πίστης τῶν ἀποστόλων, αὕτη ἡ πίστης τῶν π(ατέ)ρων, αὕτη ἡ πίστης τῶν ὀρθοδόξων, αὕτη ἡ πίστης τὴν οἰκουμένην ἐστήριξεν· ἐπὶ τούτοις, τοὺς τῆς εὐσευείας κήρυκας ἀδελφικῶς τε καὶ πατροποθήτως εἰς δόξαν καὶ τιμὴν τῆς εὐσευείας, ὑπὲρ ἧς ἠγονίσαντο ἀνευφημοῦμεν καὶ λέγωμεν ·:· αἰωνία ἡ μνήμη ÷

Μιχαὴλ καὶ Θεοδώρας τῆς αὐτοῦ μ(ητ)ρὸς, τῶν εὐσευεστάτων καὶ ὀρθοδόξων υασιλέων, αἰωνία ἡ μνήμη.

Τῶν ἁγίων καὶ οἰκουμενικῶν ζ' συνόδων, αἰωνία (ἡ μνήμη).

Νικηφόρου Ταρασίου καὶ Μεθοδίου τῶν ἁγιωτάτων πατριαρχῶν τῆς υασιλίδος πόλεως, αἰωνία ἡ μνήμη.

Γερμανοῦ τοῦ ἁγιωτάτου πατριάρχου, αἰωνία (ἡ μνήμη).

Θεοφυλάκτου ἐπισκόπου Νικομηδίας, Θεοφίλου ἐπισκόπου Ἐφέσου, Πέτρου ἐπισκόπου Νικέας, Εὐθυμίου ἐπισκόπου Σάρδης, Μιχαὴλ ἐπισκόπου Συνάδων καὶ Θεοδώρου ἐπισκόπου Σάρδης τοῦ Γραπτοῦ καὶ Θεοφάνου ἀδελφοῦ αὐτοῦ, τῶν ὁμολογητῶν, αἰωνία ἡ μνήμη.

Μιχαὴλ καὶ Θεοδώρας τῆς μητρὸς αὐτοῦ τῶν εὐσευεστάτων καὶ ὀρθοδόξων υασιλέων, αἰωνία ἡ μνήμη ÷

Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου, τῶν εὐσευεστάτων ἡμῶν υασιλέων τῶν τὴν οὐράνιον υασιλείαν, τῆς ἐπιγείου ἀντιλλαξαμένων, αἰων(ία ἡ μνήμη)·:·

Τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, αἰων(ία) ἡ μνήμη)·:·

Γερμανοῦ Νικηφόρου, Ταρασίου καὶ Μεθοδίου τῶν ἁγίων πατριαρχῶν τῆς υασιλίδος πόλεως, καὶ τῆς ὀρθοδοξίας προμάχους καὶ διδασκάλους, αἰων(ία ἡ μνήμη):

Ἴγνατίου Φωτίου, Στεφάνου καὶ Ἀντονίου τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων πατριαρχῶν, αἰων(ία ἡ μνήμη):

Θεοφυλάκτου, Πέτρου, Μιχαὴλ, καὶ Ἰώσὴφ, τῶν ἁγίων μητροπολιτῶν, αἰων(ία ἡ μνήμη).

Εὐθυμίου, Θεοφίλου, καὶ Αἰμιλιανοῦ, τῶν ἀοιδίμων ὁμολογητῶν καὶ ἀρχιἐπισκόπον, αἰων(ία ἡ μνήμη).

Ἰωάννου Νικολάου καὶ Γεωργίου, τῶν τρισολυίων ὁμολογητῶν καὶ ἀρχιἐπισκόπων, καὶ